ἐπεὶ τοίνυν κολακείαν αὐτὴν εἶπεν ὁ Σωκράτης, ὁ Πῶλος ἐναντιοῦται· ἀλλὰ δεῖ εἰδέναι, ὅτι ἡ ἐναντίωσις τῶν συλλογισμῶν τριττή ἐστιν· ἢ γὰρ ταῖς προτάσεσιν ἐναντιούμεθα, ἢ τῷ σχήματι, ἢ εἰ μηδὲ ταῖς προτάσεσι μηδὲ τῷ σχήματι δυνάμεθα ἐναντιωθῆναι, ἕτερον τρόπον ἀνασκευαστικὸν ζητοῦμεν. οἷον εἰ μὲν εἴποι τις, ὅτι ἄνθρωπος λίθος, ὁ λίθος ἵππος, ὁ ἄρα ἄνθρωπος ἵππος, ταῖς προτάσεσιν ἐναντιούμεθα ὡς ψευδέσιν· εἰ δὲ εἴποι τις, ὅτι ὁ ἄνθρωπος ζῷον, ὁ ἵππος ζῷον, ὁ ἄνθρωπος ἄρα ἵππος, ἐνταῦθα αἱ μὲν προτάσεις ἔρρωνται, ἀληθεῖς γάρ· καὶ γὰρ καὶ ἡ λέγουσα, ὅτι ὁ ἵππος ζῷον καὶ ἡ λέγουσα, ὅτι ὁ ἄνθρωπος ζῷον, τὸ δὲ σχῆμά ἐστι τὸ ψευδές· ἐν γὰρ δευτέρῳ σχήματι ἀμφότεραι καταφατικαί. εἰ δὲ καὶ τὸ σχῆμα καλῶς ἔχοι καὶ αἱ προτάσεις μὴ ψευδεῖς ὦσιν, ἔδει τότε ἑτέρως ἀνασκευάζειν, ὥσπερ καὶ Ἀριστοτέλης ἐν ταῖς φυσικαῖς ποιεῖ, δι' ὧν ἀποροῦσι διὰ τούτων ἐπιλύων
2 καὶ ἐλέγχων τὰ σοφίσματα αὐτῶν. οὕτω τοίνυν καὶ ἐνταῦθα ὁ Πῶλος μήτε τῶν προτάσεων δυνηθεὶς ἐπιλαβέσθαι μήτε τοῦ σχήματος δι' ἄλλων ἀνασκευάζειν πειρᾶται. προέρχονται τοίνυν οἱ συλλογισμοὶ τοῦ Πώλου οὕτως· εἰ ὁ κόλαξ φαῦλος νομίζεται ἐν ταῖς πόλεσιν, ὁ ῥήτωρ δὲ φαῦλος οὐ νομίζεται ἐν ταῖς πόλεσιν· ὁ ῥήτωρ ἄρα οὐ κόλαξ· λαμβάνεται τοίνυν ὁ Σωκράτης τῆς ἐλάττονος προτάσεως τῆς ἀποφατικῆς καὶ λέγει, ὅτι οὐ μόνον δείκνυμι, ὅτι φαῦλοι νομίζονται οἱ ῥήτορες ἐν τῇ πόλει, ἀλλ' ὅτι ὅλως οὐδὲ γινώσκονται αὐτὸ τοῦτο ὡς ῥήτορες ἐν πόλει. εἶτα ὁ Πῶλος τοῦτο κατασκευάζει δι' ἑτέρων προτάσεων οὕτως· ὁ ῥήτωρ μεγάλα δύναται, ὁ μεγάλα δυνάμενος φαῦλος οὐ νομίζεται, ὁ ἄρα ῥήτωρ φαῦλος οὐ νομίζεται· πάλιν κἀνταῦθα τῆς ἐλάττονος λαμβάνεται, ὡς δείξομεν, καὶ λέγει· ὅτι οἱ ῥήτορες μεγάλα οὐ δύνανται. πάλιν ὁ Πῶλος κατασκευάζει τοῦτο οὕτως· ὅτι οἱ ῥήτορες, ἃ βούλονται, ποιοῦσιν, οἱ ποιοῦντες, ἃ βούλονται, μεγάλα δύνανται, οἱ ῥήτορες ἄρα μεγάλα δύνανται. πάλιν λαμβάνεται τῆς ἐλάττονος· ὅτι, ἃ βούλονται, οὐ ποιοῦσιν. εἶτα πάλιν

---

14 Aristot. metaph. B 995 a 27

---

2 mg. ση. ὅτι ἡ τῶν συλλογισμῶν ἐναντίωσις τριττή ἐστιν
6 mg. α′ 8 mg. β′ 13 mg. γ′